43. Βλ. *Codices e Vaticanis Selecti, vol. VIII...* I Testo, σ. XIII· πρβλ. Ihor Ševčenko, The Illuminators of the Menologium of Basil II, *Dumbarton Oaks Papers* 16 (1962) 261 σημ. 40, 275 σημ. 102.

44. Βλ. G. Millet, La peinture du moyen âge en Yougoslavie, fasc. I, Album présenté par A. Frolow, Paris 1954, πιν. 75, 4.

ATHEN. 2108, ff. 126-129

f. 126 *Τῇ αὐτῇ ἡμέρᾳ [Δεκεμβρίου ις΄]· τοῦ ἁγίου μάρτυρος Βάκχου τοῦ μαρτυρήσαντος ἐν τοῖς χρόνοις ἡμῶν ἐν Παλαιστίνῃ ἐπὶ Εἰρήνης καὶ Κωνσταντίνου τῶν φιλοχρίστων καὶ ὀρθοδόξων βασιλέων.*

1. Οὗτος ὁ μακάριος Βάκχος ὥρμητο ἐκ τῆς Παλαιστινῶν χώρας, ἐκ πόλεως τοῦ Μαϊουμᾶ, ἥτις ἐστὶ πλησίον Γάζης, ἀφεστῶσα ἀπὸ Ἱεροσολύμων μονὰς δύο. Ἐν τοῖς χρόνοις τῶν ὀρθοδόξων καὶ φιλοχρίστων βασιλέων Εἰρήνης καὶ Κωνσταντίνου τοῦ υἱοῦ αὐτῆς κρατούντων τὴν μεγίστην βασιλείαν τῶν Ρωμαίων, ἐν ἔτει ϛσϟ΄, ἀρχιερατεύοντος Ἱεροσολύμων Ἠλία καὶ ἐν τῷ τῆς ἀρχιερωσύνης θρόνῳ ἐγκαθιδρυμένου, τούτου τοῦ ἀοιδίμου Βάκχου ὁ πατὴρ χριστιανὸς ἐκ
col. 2 *προγόνων ὑπάρχων χριστιανικωτάτῃ καὶ γυναικὶ συνεζεύχθη. Σατανικοῖς δὲ οὗτος δελεάσμασι παγιδευθεὶς καὶ συνελκυσθείς, τῆς ἱερᾶς τῶν Χριστιανῶν ἀποστὰς λατρείας, τῇ μυσαρᾷ τῶν Ἀγαρηνῶν προσῆλθε λατρείᾳ· οὗτος τοίνυν τῇ οἰκείᾳ γυναικὶ συνοικῶν ἔτεκεν υἱοὺς ἑπτά, ἐκτρέφων καὶ παιδεύων αὐτοὺς τῷ οἰκείῳ τῆς παρανομίας ἔθει. Ἡ δὲ τούτου γυνή, θεοσεβὴς οὖσα, τὴν μυσαρότητα τοῦ παρανόμου ἀνδρὸς θεωροῦσα ἠνιᾶτο καὶ λαθραίως ταῖς ἐκκλησίαις τῶν χριστιανῶν προσεδρεύουσα, ἱκέτευε τὸν θεὸν τῆς μυσαρᾶς χωρισθῆναι τοῦ ἀνδρὸς ἐπιμιξίας καὶ τῇ τῶν Χριστιανῶν συναφθῆναι ἐκκλησίᾳ σὺν τοῖς τέκνοις αὐτοῖς.*

2. Οὗτος δὲ ὁ ἅγιος Βάκχος εἰς ἦν τοῦ ἀριθμοῦ τῶν ἑπτὰ παίδων αὐτῆς, τρίτος ἐν τῷ τῆς γεννήσεως ἀριθμῷ, Δαχὰκ ὀνομαζόμενος, ὅπερ ἑρμηνεύεται ἑλληνιστὶ Γελάσιος· οὗτος ἄζυγα ἑαυτὸν ἐτήρει, μὴ
f. 126 *ἀνεχόμενος|γάμῳ προσομιλῆσαι, μᾶλλον βουλόμενος Χριστιανὸς γενέσθαι καὶ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ νυμφεύσασθαι διὰ τοῦ μοναδικοῦ σχήματος. Οὗτος τοῦ ἀσεβοῦς πατρὸς τελευτήσαντος καὶ τοῦ φόβου αὐτοῦ ἀπαλλαγείς, εἰδὼς τῆς τιμιωτάτης μητρὸς τὴν πίστιν εἶπεν αὐτῇ· «ὦ μῆτερ, βούλομαι γενέσθαι χριστιανὸς καὶ τῇ τῶν χριστιανῶν ἑαυτὸν ἐμπολιτογραφῆσαι ἐκκλησίᾳ». Ἡ ὄντως φιλόθεος καὶ φιλόπαις καὶ τιμία μήτηρ ταῦτα ἀκούσασα ἐχάρη σφόδρα καὶ*

εἶπεν αὐτῷ· «μακάριος εἶ, τέκνον, ὅτι περ ἐν τοιαύτῃ δόξῃ σαυτὸν ἐγκαταστῆσαι διενοήθης». Καὶ στηρίξασα αὐτὸν καὶ πλεῖστα νουθετήσασα ἀπέλυσεν.

3. Ὁ δὲ τῆς ἐνεγκαμένης ἀπάρας καὶ γενόμενος ἐν Ἱεροσολύμοις, μὴ ἀποτυχὼν τοῦ ἁγίου βαπτίσματος, ἐντὸς τῆς ἁγίας Ἀναστάσεως γέγονεν, οὐ περιφρονῶν τὸ πανάγιον ἐκεῖνο τέμενος, ἄπαγε, ἀλλὰ
col. 2 πόθῳ καὶ διακαεῖ[1a] ἔρωτι προσῆλ|θε πρὸς τὸ ποθούμενον· καὶ πλησίον τοῦ ζωηροῦ μνήματος στάς, μετὰ δακρύων τῷ Θεῷ προσηύχετο, κατασπαζόμενος τοὺς σεβασμίους τόπους καὶ δάκρυσι βρέχων τὸ ἔδαφος. Ὃν θεασάμενος μοναχός τις πρεσβύτης ἐκ τῆς λαύρας τοῦ ἁγίου Σάβα θρηνοῦντα καὶ αἰτούμενον τὴν τοῦ ποθουμένου σκοποῦ πληρῶσαι ἐπιθυμίαν, πυθόμενος καὶ μαθὼν τὰ περὶ αὐτοῦ καὶ ἰδὼν ἀκόρεστον τὴν πίστιν καὶ τὸν πόθον αὐτοῦ, παραλαβὼν ἤγαγεν αὐτὸν εἰς τὴν λαύραν. Καὶ εἰσελθὼν ὁ μοναχὸς καὶ τῷ ἡγουμένῳ κατ' ἰδίαν περιτυχών, ἅπαντα αὐτῷ διεσάφησεν τὰ κατὰ τὸν τίμιον Δαχάκ· καὶ εἰσελθεῖν αὐτὸν τῷ ἡγουμένῳ προστάξαντος, ἅπαντα τὰ καθ' ἑαυτὸν διηγήσατο, ὅθεν τε ἔφυ καὶ ὧν ἐφίεται τυχεῖν, ἐξαιτῶν καὶ δεόμενος χρῖσαι αὐτὸν τῷ ἁγίῳ βαπτίσματι. Ἐπικαμφθεὶς οὖν τῷ τῶν δα-
f. 127 κρύων ἑσμῷ ὁ θεοσεβέστατος ἡγούμενος, καίτοι δε|διὼς τῶν ἀσεβῶν τὴν ἀπειλήν, θαρσήσας τῇ πίστει καὶ τῷ πόθῳ τοῦ δεομένου τῆς χάριτος, ἅπεισιν ἅμα αὐτῷ καὶ τῷ συνόντι αὐτοῖς μοναχῷ ἐν ἐπιτηδείῳ τῆς μονῆς κρυφαίῳ τόπῳ· καὶ τὸ τῆς ὀσφύος περίζωμα τοῦ νεανίσκου ἀφελόμενος, κατηχήσας ἐβάπτισεν, ὀνομάσας αὐτὸν Βάκχον. Καὶ τῶν τεταγμένων ἡμερῶν τῆς ἑβδομάδος διελθουσῶν καὶ τῆς φωτιστικῆς ἀφαιρεθείσης ἐσθῆτος, ἠξίου[1] τὸν ἡγούμενον σχήματι σχῆμα ἀντικαταλλάξαι καὶ φωτὶ φῶς προσλαβέσθαι καὶ τὸ τῶν μοναχῶν ἐπενδύσασθαι ἀγγελοπρεπὲς ἐδυσώπει ἔνδυμα καὶ τῷ τῶν μοναχῶν ἐγκαταλεχθῆναι[2] κλήρῳ. Ὁ δὲ θεοσεβὴς ἡγούμενος καίπερ περὶ τὰ ἄλλα εὐπειθὴς ὢν ἐδεδίει[3] καὶ πρὸς τὸ ἐγχείρημα ἐξεδύετο[4].

1a. διακάφ

1. ἠξίοι

2. ἐγκατελεχθῆναι

3. ἐδεδέει

4. ἐνεδύετο

Μάλιστά γε τὸ νέον τῆς ἡλικίας αὐτοῦ καθορῶν καὶ τὸ πρὸς ἀπάτην
ἐπιρρεπὲς καὶ ὀλισθηρὸν τῆς ἀστάτου νεότητος εἶδος, πᾶν τι πρὸς
col. 2 *τὴν ἐγχείρη|σιν ἀνεβάλλετο. Ὑπῆρχε γὰρ οὗτος ὁ τίμιος Βάκχος ἔτι*
ἀκμάζων καὶ σφριγῶν τῇ ἡλικίᾳ, ὡς ἐτῶν ιη΄, μήπω ταῖς παρειαῖς τὰ
τῶν ἰούλων ἐπανθήσας βλαστήματα, τὰ τῆς τελείας καὶ ἀνδρικῆς
αὐξήσεως τεκμήρια τυγχάνοντα. Πρέσβεις δ' οὖν κεκινηκὼς τῷ πανο-
σίῳ ἀνδρὶ τοὺς τῆς αὐτῆς μονῆς προύχοντας, τῇ αὐτῶν ἱκεσίᾳ καὶ
παραινέσει πρὸς οἶκτον αὐτὸν ἐπικάμψας, ἐνδιδύσκεται τὸ ἀγγελο-
πρεπὲς καὶ πανάγιον σχῆμα, θᾶττον φωτὶ φῶς προσλαβόμενος. Καὶ
δὴ τῷ τῶν ἀσκητῶν ἑσμῷ ἑαυτὸν συναγείρας, εἶχετο τῆς σωτηρίου
καὶ ἀγγελικῆς ἐργασίας, γυμνάζων ἑαυτὸν πρὸς πᾶν ὁτιοῦν τῶν ψυ-
χωφελῶν μαθημάτων· νηστείας γὰρ καὶ ἀγρυπνίας εἰς τοσοῦτον
ἐφάνη ἐλήλακώς, ὡς ἄσαρκος μικροῦ δεῖν καὶ ἄναιμος τοῖς πολλοῖς
λογίζεσθαι, ἡσυχίας δὲ καὶ ἀοργησίας τοσοῦτον αὐτῷ τὸ περιόν, ὡς
f. 127˙ *ψαλμικῶς εἰπεῖν κωφὸς οὐκ ἀκούων|καὶ ἄλαλος οὐκ ἀνοίγων τὸ*
Ps. 37(38).14 *στόμα αὐτοῦ τοῖς συνδιαιτωμένοις ἐνομίζετο. Πλουσίαν δὲ ἐν τῷ τῆς*
ψυχῆς ταμείῳ τὴν ταπείνωσιν θησαυρίσας, οἰκιστὴν ἑαυτὸν καὶ πο-
λιοῦχον τῆς τῶν οὐρανῶν βασιλείας ἀνέδειξε· τὸ δὲ τῆς προσευχῆς
ἀκόρεστον καὶ ἀπλήστως ἐπιτελούμενον τίς ἄρα ἀξίως λογογραφή-
σει[5]*; οὐκ ἦν γὰρ ὥρας καιρὸς τῷ ὁσίῳ ἀνδρὶ πρὸς τὴν τοιαύτην*
ἐργασίαν τετυπωμένος, ἀλλὰ πᾶν τὸ τῆς ἡμέρας διάστημα εἰς τὸ τῆς
προσευχῆς αὐτῷ κατηνάλωτο γεώργιον, τοὺς μαργαρώδεις τῶν δα-
κρύων ἐν θλίψει σπείρων πόνους, ἐν ἀγαλλιάσει δὲ θεριούμενος
Gal. 6.9 *καιρῷ ἰδίῳ ἀποστολικῶς εἰπεῖν. Ὁ δὲ τῆς τοιαύτης μονῆς ποιμὴν*
δεδιὼς τοῦ θεοστυγοῦς ἔθνους τὰς κρυφιοπεύστους ἀναζητήσεις, μή-
πως φωραθῇ ὡς ἀγαρηνὸν[6] *βεβαπτικὼς καὶ κίνδυνον θανατηφόρον*
ἐπενέγκῃ τῇ αὐτοῦ μονῇ, ἐντολὴν αὐτῷ δέδωκεν ὅπως μὴ ἐν ἑνὶ
col. 2 *τόπῳ|τὴν ἐργασίαν καὶ διαγωγὴν τοῦ μοναδικοῦ βίου τελείτω. Οὕτω*
τοιγαροῦν τοὺς ἁγίους τόπους καὶ τὰ μοναστήρια διερχόμενος καὶ
ἑκάστου τὴν ἀρετὴν καταμανθάνων καὶ τῷ οἰκείῳ νῷ ἐντιθέμενος,
ἀρετῶν οἰκητήριον ἑαυτὸν κατεσκεύασεν.

---

5. λογογραφεῖσοι

6. ἀγαρινόν

4. Ἐν τούτοις τοῖς κατορθώμασι τοῦ ὁσίου βιοῦντος, ἡ τούτου μήτηρ εἰς Ἱεροσόλυμα ἀφίκετο τῆς ὑψώσεως ἕνεκεν τοῦ Τιμίου Σταυροῦ καὶ τὴν τοῦ τέκνου μονίαν ἰδέσθαι ποθοῦσα. Καὶ δὴ τοῦ ζητουμένου ἔτυχε· θεασαμένη γὰρ τὸν αὐτῆς υἱόν, τὰς χεῖρας εἰς ὕψος ἄρασα τῷ θεῷ εὐχαρίστησε καὶ τοῦτον ἀγκαλισαμένη ἀμέτρως κατησπάσατο, χαρμονικὰ δάκρυα ῥαίνουσα. Πυθομένη δὲ ἔμαθεν παρ' αὐτοῦ τήν τε ἀναστροφὴν καὶ διαγωγὴν καὶ τῆς τοῦ βαπτίσματος χρίσεως καὶ τοῦ μοναδικοῦ σχήματος τὴν ἀμφίασιν καὶ πῶς καὶ παρὰ τίνος καὶ πότε ταῦτα εἴληφεν, εἰπόντος «ἐπὶ τέλους», φησίν, «εὐχαῖς
f. 128 *σου, ὦ μῆτερ, ὁδηγούμενος πάντα τὰ ἐμοὶ ἐράσμια ἀνεμποδίστως»· ἔτι δὲ ῥήματα στηριγμοῦ παρὰ τῆς μητρὸς δεξάμενος καὶ πλεῖστα διαλεχθεὶς αὐτῇ περὶ τῶν κατὰ σάρκα ἀδελφῶν αὐτοῦ ὑπεχώρησε. Καταλαβοῦσα δὲ ἡ αὐτοῦ μήτηρ τὸν Μαϊουμᾶν, ἅπαντα δῆλα πεποίηκε τοῖς ἰδίοις τέκνοις τὰ εἰς τὸν ὅσιον ὁραθέντα αὐτῇ καὶ ὅτι «λίαν ἀλγεῖ καὶ ἀνιᾶται περὶ τῆς ὑμῶν κακοδοξίας». Οἱ δὲ ὡς ἐκ τοιαύτης μητρὸς τυγχάνοντες νεοθαλεῖς ὄρπηκες τὰς τοῦ ἁγίου δηλώσεις ἐνηχηθέντες καὶ τῇ φιλοθείᾳ ὑπερζέσαντες, τὰ ἐνόντα αὐτοῖς κτήματα ἐν τῷ Μαϊουμᾷ πεπρακότες καὶ μετανάσται τῆς ἐνεγκαμένης γεγονότες, ὁμαδὸν εἰς ἀλλοδαπῆ χώραν ἀπάραντες τῷ παναγίῳ προσῆλθον βαπτίσματι σὺν γυναιξὶ καὶ τέκνοις. Εἷς δέ τις τοῦ ἀριθμοῦ τῶν ἑπτὰ συνεζευγμένος γυναικὶ ἀκάμπτῳ καὶ θηριώδει, μὴ*
col. 2 *συναιρούσης αὐτῷ ἀνδρὶ ἐπὶ τῇ τοῦ Χριστιανισμοῦ πί|στει, ἀπελθοῦσα δῆλα τοῖς ἀπίστοις πάντα πεποίηκεν. Οἱ δὲ μεμαθηκότες καὶ εἰς ἄμετρον ἐξαφθέντες θυμόν, σκαιωρίαν[7] δρῶσι τοιάνδε· εἰσκαλεσάμενοι γὰρ ἕνα ἄνδρα πονηρότατον καὶ ἀποστάτην πεπόμφασιν αὐτόν, ὡς δῆθεν Χριστιανὸν νομιζόμενον, ἀναστρέφεσθαι ἐν τοῖς μοναστηρίοις καὶ ἐν ταῖς ἐκκλησίας καὶ ἀνερευνᾶν εἴ πως εὕροι τὸν ὁσιώτατον Βάκχον, τὸν παρ' αὐτοῖς Δαχὰκ ὀνομαζόμενον, δεδωκότες αὐτῷ ἀργύρια ἱκανὰ εἰς[8] μισθὸν μιαιφονίας.*

5. Οὗτος οὖν ὁ πονηρὸς ἀνὴρ καὶ διάβολος ἐν Ἱεροσολύμοις γενόμενος καὶ τὰς πλατείας ἀναπατῶν περιεσκόπει ὑπούλως καὶ δολίως. Καὶ δὴ ὁ τοῦ θεοῦ ἀνὴρ Βάκχος εἰσῄει εὐξόμενος εἰς τὴν ἁγίαν

7. σκεωριαν

8. ει

Ἀνάστασιν· ὁ δὲ κακεντρεχὴς καὶ σκολιὸς ἀνὴρ τὴν τοῦ ὁσίου θεασάμενος παρουσίαν, ὡς θὴρ ἀνήμερος εἰσπηδήσας ἐδράξατο τῆς
f. 128 ἐπωμίδος αὐτοῦ καὶ τοῖς ὄπισθεν ἀναποδίσας, ἤρξα|το βοᾶν μεγαλοφώνως τοῖς συμπαροῦσιν ἀγαρηνοῖς[9] ὡς ὅτι «ὁμόφυλος ἡμῖν ὤν, βδελυξάμενος τὴν καθ' ἡμᾶς πίστιν χριστιανὸς γέγονε καὶ ἰδοὺ καὶ μοναδικὸν ἐνδιδύσκεται ἔνδυμα». Τότε κρατήσαντες αὐτὸν ἀπήγαγον πρὸς τὸν ἀμηρᾶν τῆς ἁγίας πόλεως· ὁ δὲ τὰ περὶ τοῦ δικαίου γνούς, καθείρξας αὐτὸν ἐν ἀσφαλεστέρᾳ φρουρᾷ καὶ τῇ ἑξῆς ἐξαγαγὼν τῆς φρουρᾶς, τὰς χεῖράς τε σὺν τῷ τραχήλῳ τῷ ξύλῳ ἀσφαλισάμενος ἀπέστειλεν αὐτὸν τῷ παρ' αὐτοῖς ὀνομαζομένῳ στρατηγῷ, δηλώσας αὐτῷ δι' ἐπιστολῆς τὰ κατ' αὐτόν. Καὶ δὴ ὁ τοῦ Χριστοῦ μάρτυς ἅμα τοῖς ἀπάγουσιν αὐτὸν ἀπήρξατο τῆς ὁδοῦ· καὶ δὴ πλησίον τῆς Ἱερουσαλὴμ τὴν πάροδον ποιούμενος, δέσμιος ὤν, ἐπιστραφεὶς καὶ ἐπι-
Ps. 124 (125).2 σχών, θεασάμενος[10] τὴν Ἱερουσαλὴμ ὧδέ πως ἔφη: «Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου, ἧς ὄρη κύκλῳ καὶ
col. 2 Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, στηριχθείη καὶ δι|αφυλαχθείη ἀταράχως ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος χειρὶ θεοῦ παναλκεστάτῃ, σκε-
Gal. 4. 25 πομένη εἰς αἰῶνα καὶ ἐπ' αἰῶνα καὶ ἔτι, ἐγγραφείη τὰ τέκνα τῆς σῆς λοχείας εἰς τὴν ἄνω Ἱερουσαλήμ, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός· ἄνοιξον κἀμοί, ὦ δέσποτα, τὰς τοῦ ἐλέους σου πύλας καὶ ἐν τῇ ἄνω Ἱερουσαλὴμ εἰσάγαγε, τελειῶν μου τὸν δρόμον ἐν τῷδε τῷ ἐγχειρήματι». Καὶ ταῦτα εἰπὼν εἶχετο τῆς ὁδοῦ· οἱ δὲ τοῦ μύσους ὑπηρέται φθάσαντες ἐν τῇ πόλει κατέκλεισαν αὐτὸν ἐν τῷ δεσμωτηρίῳ σὺν ἀκαθάρτοις καὶ φονικοῖς[11] ἀνδράσιν αὐτὸν παρενείραντες, οἳ καὶ ἀνενδότως ἐχλεύαζον αὐτὸν πτυέλῳ τὸ σεβάσμιον ἐκεῖνο καταρραίνοντες πρόσωπον, ἀποστάτην αὐτόν δημηγοροῦντες τῆς φευκτέας αὐτῶν αἱρέσεως. Ὁ δὲ τὸν ἑαυτοῦ διδάσκαλον μιμητικῶς ἐξομοιούμενος ἐσιώπα.

6. Μετὰ δέ τινας ἡμέρας ὁ στρατηγὸς ὁ παρ' αὐτοῖς ὀνομαζόμε-
f. 129 νος, τὸν δικα|στὴν προσκαλεσάμενος ἐν τῷ πραιτωρίῳ, τῆς συνήθους τάξεως παρεστώσης τὸν πανάγιον προσαχθῆναι ἐκέλευσεν. Καὶ δὴ

9. ἀγαρινοῖς

10. θεσάμενος

11. φονίσκοις

προσήχθη ὁ ἅγιος φαιδρῷ τῷ προσώπῳ καὶ ἔτι τοῦ προαυλίου ἐπιβάς, τὰς χεῖρας εἰς οὐρανὸν ἀνατείνας ἐβόησε λέγων «ὁ θεὸς τῶν Χριστιανῶν βοήθει μοι». Καὶ στὰς ἔμπροσθεν τῶν δικαστῶν ὁ ἅγιος, ἔφησαν αὐτῷ: «λέγε ἡμῖν, ὦ παγκάκιστε, τίς σε ἐξαπατήσας πέπεικεν τῆς πατρῴας ἀπορραγῆναι πίστεως καὶ τῇ τῶν Χριστιανῶν μεταβῆναι ἀπάτῃ». Ὁ δὲ τοῦ θεοῦ θεράπων πάντῃ πρώτην αὐτοῦ πεῦσιν ἀλλοτριούμενος, ἀπόκρισιν αὐτῷ οὐκ ἔδωκεν, θεῷ δὲ τὰς συνήθεις ὑμνῳδίας ἀνέπεμπεν καὶ φησὶν «ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι ὁ θεός». Πάλιν τε ὁ ἀμηρὰς τῷ γενναίῳ μάρτυρι ἔφη: «καταλείψας τὴν ματαίαν τῶν χριστιανῶν πλάνην, ἐπάνελθε ἐπὶ τὴν πατροπαράδοτόν
col. 2 σοι θεσμοθετηθεῖσαν πίστιν καὶ τεύξῃ παρ' ἡμῶν τιμὰς πλεί|στας, καὶ μὴ θανάτῳ ἀώρῳ τὸ ζῆν διαμείψῃς». Ὁ δὲ ἀκατάπληκτος τοῦ θεοῦ στρατιώτης, ἠρέμα τοῖς προτέροις ἐκέχρητο ῥήμασι καὶ φησὶν «ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι ὁ θεός». Γνοὺς δὲ τὸ ἐπίμονον καὶ ἀμετάθετον τοῦ μάρτυρος ὁ δικαστὴς ἔφη: «ἐπεί περ λίθου δίκην πεπώρωσαι καὶ τοῖς ἡμετέροις οὐχ ὑπείκεις θεσπίσμασι, κἂν ψιλῷ λόγῳ μόνον φῆσον, οὐ πιστεύω ὡς πιστεύουσιν οἱ χριστιανοί, καὶ ἀπολυθήσει». Ὁ δὲ ἀμετάθετος τοῦ θεοῦ δοῦλος τὸ πεφιλημένον αὐτῷ τῶν Χριστιανῶν ἀκούσας ὄνομα, διαπρυσίως ἔφη: «οὐχ ὡς σὺ λέγεις ἐγὼ λέγω, ἀλλὰ τοὐναντίον ὡς πιστεύουσιν οἱ χριστιανοὶ κἀγὼ πιστεύω». Ἐορακὼς οὖν ὅ τε δικαστὴς καὶ ὁ ἀμηρὰς τοῦ μάρτυρος τὸ σταθηρὸν καὶ ἀκαμπές, παρέδωκαν αὐτὸν τῷ σπεκουλάτωρι ἅμα τοῖς λοιποῖς ὑπηρέταις, φήσαντες οὕτως: «ἐξαγαγόντες αὐτὸν ἐν ἐπι-
f. 129ᵛ τηδείῳ τόπῳ, εἰ μὴ πεισθείη ἔτι τοῖς ἡμε|τέροις θεσπίσμασι καὶ ὑποκύψει, ἀφέλετε ξίφει τὴν κεφαλήν». Ὁ δὲ ἅγιος μάρτυς λαβὼν τὴν ἀπόφασιν εἶχετο τῆς τελευταίας πορείας· καὶ δὴ φθάσας τὸν τεταγμένον τῆς ἀθλήσεως τόπον, εὐχὴν τετελεκὼς ἑαυτόν τε σφραγίσας καὶ τὸ ἀμὴν εἰπών, ἔκλινε τὸ γόνυ· καὶ τὸν αὐχένα πρὸς γῆν καμπυλώσας, ὡς πρόβατον ἐπέδωκεν ἑαυτὸν τοῖς δημίοις. Πλεῖστα δὲ ἔτι ἀναγκάσαντες αὐτὸν μετελθεῖν, οὐκ ἔπεισαν, ἀλλὰ καὶ τὸν δήμιον κατηράσατο μὴ τέμνοντα τὸ τάχος. Ὅστις ὀργίλως μετεωρίσας τὸ ξίφος καὶ καταγαγών, τὴν μακαρίαν τοῦ ἀοιδίμου μάρτυρος τέτμηκεν κάραν, μηνὶ ἀπελλαίῳ[12] ις'.

12. ἀπιλλέως

7. Οὕτινος τὸ λείψανον αἰτήσαντες οἱ χριστιανοὶ παρὰ τοῦ στρατηγοῦ καὶ λαβόντες τὴν ὀθόνην συναθροίσαντες καὶ ἀρώματα ἄμφια τε καὶ τῷ μάρτυρι περιθέντες, τιμαλφεστάτῃ ταφῇ παρέδωκαν, κατα-
col. 2 *θέμενοι εἰς τὸν ναὸν τῶν ἁγίων Κοσμᾶ καὶ|Δαμιανοῦ, ὑμνοῦντες Χριστὸν τὸν Θεὸν ἡμῶν, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.*

SIGLA CODICUM

Q = *Sinait. gr..578*, s. X vel XI, membr., 260×200, ff. 104. Menaeum initio mutilum a die 11 usque ad 31 decembris.— Cf. V. Gardthausen, Catalogus codicum graecorum sinaiticorum, Oxonii 1886, p. 137.— M. Kamil, Catalogue of all Manuscripts in the Monastery of St. Catharine on Mount Sinai, Wiesbaden 1970, p. 94.

S = *Sinait. gr. 583*, s. XI, membr., 270×215, ff. 255. Menaeum decembris duabus manibus scriptum.— Cf. V. Gardthausen, op. cit., p. 138. — M. Kamil, op. cit., p. 95.

P = *Paris. gr. 1623* (Colbert 4176), s. XIV, membr., 245×195, ff. 181. Menaeum initio mutilum a die 6 usque ad 31 decembris. Prophetiae et preces variae.— Cf. H. Omont, Inventaire sommaire des manuscrits grecs de la Bibliothèque Nationale II, Paris 1888, p.108.

[Μηνὶ Δεκεμβρίῳ ις'· τοῦ ἁγίου ὁσιομάρτυρος Βάκχου τοῦ νέου].

Q f. 16 ˇ

Κάθισμα

Ἦχος πλ. δ'. *Τὴν σοφίαν τοῦ Λόγου*

Πτερωθεὶς τῇ ἀγάπῃ τοῦ Ἰησοῦ,
ἀπανέστης τοῦ βίου τῶν ὀχληρῶν
καὶ θείῳ βαπτίσματι
φωτισθεὶς τὴν διάνοιαν,
μοναζόντων σχῆμα ὁσίως ἀνέλαβες
καὶ ἀθλητῶν ἀγῶνας ὑπῆλθες στερρότατα·
ὅθεν ἐκτελέσας
τοὺς ἐνθέους σου δρόμους, *2 Tim. 4. 7*
στεφάνων ἐπέτυχες
οὐρανίων γηθόμενος.
Βάκχε πανεύφημε,
πρέσβευε Χριστῷ τῷ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ
<τὴν ἁγίαν μνήμην σου.>

heirm. καθ. MR I,68

S f. 105 Ἄλλο

Ἦχος γ΄. *Ἡ Παρθένος σήμερον|τὸν ὑπ(ερούσιον τίκτει)*

Ἀθλοφόρε μέγιστε,
τῆς ἀληθείας ὁ κῆρυξ,
χριστομάρτυς ἔνδοξε,
ὁ τῆς Τριάδος ὁπλίτης,
αἴτησαι τοῖς σὲ τιμῶσιν
ἐξ ὕψους χάριν,
δώρησαι ταῖς σαῖς πρεσβείαις
πᾶσιν εἰρήνην
τοῖς ἀπαύστως εὐφημοῦσι
τὴν θείαν μνήμην τῆς σῆς ἀθλήσεως.

Q f. 17 Στιχηρὰ (α΄)

Ἦχος πλ. δ΄. *Ὢ τοῦ παραδόξου θαύματος*

Βάκχε θεόφρον πανόλβιε,
τὴν σὴν ψυχὴν δεκτικὴν
καθαρῶν ἐπιλάμψεων
τοῦ ἁγίου πνεύματος
βουληθεὶς ἀπεργάσασθαι,
τῆς ἀγνωσίας σκότος κατέλιπες
μητρὸς πειθήσας ταῖς παραινέσεσι
καὶ προσεχώρησας
ἱερῷ βαπτίσματι,
ὡς ἀετὸς ἀνακαινιζόμενος *Ps. 102 (103). 5*
καὶ καλλυνόμενος.

Μάρτυς ἀθλητὰ πανθαύμαστε,
δικαστικῶν ἀνδρικῶς
πρὸ βημάτων ἱστάμενος

---

heirm. καθ. ἄλλου HC 356 κάθ. ἄλλο cf. MR IV,96
heirm. στιχ. α΄ MR III,315
6 ἀγνοσίας κότος

καὶ Χριστὸν μιμούμενος
τὸν παθόντα θελήματι
πρὸς τὰς τοῦ πλάνου πεύσεις σοφώτατα
τὸ ἀλληλούια σαφῶς ἀντέθηκας
τούτου τὸ ἄλογον
καταπαίζων φρόνημα
καὶ ἑαυτῷ ἅπασαν ἀσφάλειαν
περιποιούμενος.

S f. 105 ˅ Στιχηρὰ (θ΄)
Ἦχος δ΄. *Ὡς γενναῖον ἐν μάρτυσι* .

Τοῖς κρουνοῖς τῶν αἱμάτων σου,
ὁσιομάρτυς ἔνδοξε
Βάκχε παναοίδιμε, καταβέβληκας
τὸν ἀλαζόνα καὶ κάκιστον
ἐχθρὸν τὸν πολέμιον
ἐπικλήσει τοῦ Χριστοῦ
καὶ δυνάμει νευρούμενος·
ὅθεν εἵληφας
καὶ θαυμάτων τὴν χάριν τοῦ ἰᾶσθαι
τοὺς ἐν πίστει ἐκτελοῦντας
τὴν ἀεισέβαστον μνήμην σου.

Ἀθεΐας τὴν κάμινον *cf. Da. LXX. 3. 49*
ὥσπερ ὄμβροις τοῖς λόγοις σου,
ἀθλοφόρε, ἔσβεσας καὶ ἐπήγασας
θεογνωσίας τὰ νάματα,
Βάκχε παναοίδιμε,
τοῖς δοξάζουσι Χριστὸν

---

16 θελήματα
heirm στιχ. θ΄ CPC 70
31-33 post χάριν orationem addidit eadem manus in mg. sinistro
34 cf. EPh 35 (1936) 487*

εὐεργέτην καὶ Κύριον,
ὃν ἱκέτευε
ἐκ φθορᾶς<καὶ κινδύνων λυτρωθῆναι
τοὺς ἐν πίστει ἐκτελοῦντας
τὴν ἀεισέβαστον μνήμην σου.>

P f. 48 ˇ

Ὑπερήφανον φρύαγμα
καὶ ἀλλόφυλον ἔπαρσιν
καὶ μεγάλαυχον ὕβριν καὶ ἀλλόγλωσσον
κατὰ Θεοῦ ἐπαιρόμενα,
Βάκχε, καταβέβληκας
ἐπικλήσει τοῦ Χριστοῦ
καὶ δυνάμει νευρούμενος·
ὃν ἱκέτευε
ἐκ φθορᾶς καὶ κινδύνων<λυτρωθῆναι
τοὺς ἐν πίστει ἐκτελοῦντας
τὴν ἀεισέβαστον μνήμην σου.>

S ff. 106-111 ˇ P ff. 48ˇ-52

Ὁ Κανὼν
Ἦχος β΄

ᾠδὴ α΄. *Τῷ μεταστρέψαντι.*

Ὁ Βάκχος πρόκειται δαψιλεστάτῃ τρυφῇ,
ἀλλ' ἐμφορηθῶμεν τοῦ ἀκορέστου αὐτῆς·
τῆς ἀσκήσεως γὰρ
καὶ τῆς ἀθλήσεως τὸ νῖκος ἔχει.

---

alterum trop. cuiusque odes, excepta prima, deest in P

heirm. α΄ EE 43, n. 58, Germani; omnes heirmos integros praebet P; heirm. α΄ integrum exhibet S heirm. 2 ἐκ μέσου αὐτῆς S

1 δαψιλεστάτη τρυφὴ S

4 τὰς νίκας P

[Τῷ σκῆπτρα φέροντι ἐν ἀδίῳ χειρί,
f. 106ᵛ τῷ ἀ/καταλήπτῳ σοῖς ἐν κριμάτων θυθοῖς
μέλπομεν ὡς Θεῷ
ᾠδὴν αἰνέσεως εἰς τοὺς αἰῶνας.]

θεοτ. Τὴν μόνην φύσεως λαθοῦσαν ἐν γυναιξὶν
f. 49 δρους/ἐν τῷ τίκτειν τιμῶμεν οἱ δι' αὐτῆς
κλήρου προγονικοῦ
τῆς ἁμαρτίας λελυτρωμένοι.

ᾠδὴ γ'. *Σὺ τῷ λόγῳ σου, Κύριε*

Ἐβαπτίσθης τὸ βάπτισμα,
τὸ ποτήριον ἔπιες
καὶ ἡ βασιλεία σοι, Βάκχε,
Χριστοῦ συγκεκλήρωται. *Rom. 8. 17*

f. 107 Τῇ ἀσκήσει σταυρούμενος,
τῇ ἀθλήσει νεκρούμενος,
ἔμψυχον σαυτὸν ἱερεῖον
Χριστῷ προσενήνοχας.

θεοτ. Ὁ ὁρῶν πάντα πέρατα
ἐκ τοῦ ὕψους τῆς δόξης σου, *Is. 10. 12*
οἰκτείρας σὸν πλάσμα, ὡράθης
παρθένου ἀγκάλισμα.

5-8 de hoc trop. vide supra, p. 340; cf. EPh 40 (1941)85*

5 τὰ σκῆπτρα P

8 εἰς αἰῶνας S

heirm. γ' EE 44, n. 59, Germani heirm. 1 Σοὶ S heirm. 3 ἐν τῇ πίστει P:ἐν πίστει EE

18 νεκρούμενος cd: fort. scribendum νευρούμενος

f. 49ᵛ

Κάθισμα

Ἦχος πλ. α΄. *Τὸν συνάναρχον <Λόγον>*

Καὶ νῦν

Τὸ θεόδεκτον σκῆνος, χαῖρε πανάμωμε,
τὸ ἀμάραντον κρίνον καὶ πολυέραστον,
τοῦ Βασιλέως καὶ Θεοῦ ἁγνὸν παλάτιον·
χαῖρε ἡ μόνη τῶν βροτῶν
ἀνακαινίσασα μορφὴν
τὴν ἐκ τοῦ ὄφεως πάλαι
ἀμαυρουμένην φανεῖσαν·
χαῖρε ἡ λύσις τῆς ἀρχεγόνου ἀρᾶς.

ᾠδὴ δ΄. *Τὴν ἐκ παρθένου σου γέννησιν*

f. 107ᵛ f.50

Ἡ πρὸς αὐγὰς ἐξενέγκασα
καὶ ζωῆς σοι τὰς πρώτας
παρασχοῦσα ἀφορμὰς
καὶ εἰς τὸ φῶς τοῦ βαπτίσματος ἡγησαμένη
μήτηρ ἀπεδείχθη
ἀντὶ γάλακτος μᾶλλον
εὐσεβείᾳ θρεψαμένη σε υἱόν.

Ὁ τοῦ Κυρίου τὴν νέκρωσιν *2 Co. 4.10*
ἐν τῷ σώματι Βάκχος
περιφέρων ἀσκητής,
ὁ ἀθλητὴς ὁ τὰ στίγματα αὐτοῦ βαστάζων, *Gal. 6.17*
ὁ δι' ἀμφοτέρων
τὸ εὐδόκιμον πλέξας,
ἐγκωμίων στεφανούσθω συμπλοκαῖς.

κάθ. praebet P solus; heirm. καθ. HR 230

heirm. δ΄ EE 43, n. 57, Andreae

f. 108 θεοτ. Ὡς ἐκ νεφέλης ἐπέφανε *Ex. 34.5*
40 φαεινῆς ἐκ παρθένου
ὁ πρὸ κόσμου ἀνασχὼν
ἥλιος λόγος, ἀπαύγασμα φωτὸς ἀνάρχου, *Sap. 7.26*
σκότος ἀγνωσίας
διαλύσας ἀκτῖσι *Sap. 2.4*
45 σωτηρίοις ἐπιγνώσεως αὐτοῦ.

ᾠδὴ ε΄. *Τῆς νυκτὸς διελθούσης*

f. 50 ˙ Οὐρανόμηκες ὕψος
προκόπτων ἀνέβης
f. 108 ˙ ὁ δι' ἀ|ρετῆς ἀνελκόμενος
καὶ σειρὰν διαπλέξας
50 χρυσῆν ἐποιήσω
πρὸς χειραγωγίαν τῆς κλίμακος.

Τὴν στενὴν καὶ τραχεῖαν *cf. Matth. 7.13-14*
βαδίζων μονάζων
εἰς φοβερωτέραν ἐλήλυθας
55 καὶ τὸν ὄρθιον ἀθλῶν
δρόμον, ἑορτάζεις
τὰ ἐν οὐρανοῖς ἐπινίκια.

θεοτ. Οὐρανὸν ὁ προστάξει
βασιλεὺς τανύσας *Job 9.8*
60 ἐμῇ ἐν πενίᾳ ξενίζεται,
ἐν ἀχράντῳ οἰκήσας

---

heirm. ε΄ EE 44, n. 59, Germani heirm. 2 ἠγγ. ἡμέρα P: ἠγγ. ἡ ἡμέρα EE heirm. 4 ὑμνεῖ σε P heirm. 6 καὶ δοξολογεῖ σε τὰ πέρατα P
48 ἀνελόμενος S
55 ἄθλον

νηδύι παρθένου,
ἵνα οὐρανὸς ἐναυλίσῃ με.

ᾠδὴ ς'. *Ἄβυσσος ἁμαρτημάτων*

f.109 f. 51 Γέγονας καλὴ προσθήκη
τῶν μοναστῶν τῇ ἀγέλῃ
καὶ τῇ στρατιᾷ τῶν ἀθλητῶν,
Βάκχε ἀοίδιμε,
καλλώπισμα τῶν Χριστοῦ θεραπόντων.

Ἔλιπες λαμπρὰν εἰκόνα
τῆς ὑψηλῆς πολιτείας
τὴν ἐν ἀπαθείᾳ σου ζωὴν
καὶ τὸ δι' αἵματος
μαρτύριον, τὸ μακάριον τέλος.

f. 109ᵛ θεοτ. Ἔκλινας ἐξ ὕψους δόξης, *Is. 10.12*
καμφθεὶς ἀπείροις σου σπλάγχνοις,
καὶ θροτῶν οὐσίαν μορφωθείς
κάλλους ἀντέδωκας
εὐπρέπειαν τῇ ἐμῇ δυσμορφίᾳ.

ᾠδὴ ζ'. *Ὁ τὴν κάμινον πάλαι*

Τοῦ ἐχθροῦ τὰς παγίδας *1 Tim. 3.7*
ἐκφυγὼν εὐμηχάνως

---

63 ἵνα ἐν οὐρανοῖς αὐλίσῃ με S
heirm. ς' EE 44, n. 59, Germani heirm. 4-5 Κύριε, Κύριε, ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου P: ἀνάγαγε, Κύριε, ἐκ φθ. τὴν ζ. μου EE
66 στρατειᾷ P
68 καλλώσπισμα P
heirm. ζ' EE 44, n 59, Germani heirm. 6 om. P

καὶ τῆς πλάνης τοὺς βρόχους
διαρρήξας γενναίως /
f. 51˅ ἐδρέψω τὸν παράδεισον.

Τὸ τῆς φύσεως χρέος
ἐξ ἀνάγκης ὀφείλων,
ἑθελούσιον κέρδος
καὶ φιλότιμον δῶρον
ἐλάμβανες τὸν θάνατον.

f. 110 θεοτ. Ἐξ αἱμάτων ἀχράντων,
βασιλεῦ τῶν αἰώνων, *1 Tim. 1.17*
ἁλουργίδα φορέσας
εἰς ἐπίσκεψιν ἦλθες
κειμένων εἰς ταπείνωσιν.

ᾠδὴ η΄. *Τὸν πάλαι δροσίσαντα*

f. 110˅ Σοφίαν καὶ φρόνησιν *Eph. 1.8*
τοῦ θανάτου μελέτην ἐσχηκώς
καὶ τὸ σπουδαζόμενον
συμφερόντως ἐπαγόμενον ἰδών,
χαρμοσύνῳ φρονήματι
ἐτελεύτας
ὡς τὴν εἰς αἰῶνα
ζωὴν ἀντικερδαίνων.

Καρπὸν τῆς ἀσκήσεως
τὴν δι' αἵματος ἄθλησιν ἐκ σοῦ
Χριστὸς προσδεξάμενος
μεγαλόδωρος ὁ δίκαιος κριτής, *Ps. 7.12*

---

heirm. η΄ EE 44, n. 59, Germani heirm. 4 παραδόξως τοὺς Χαλδαίους P heirm. 8 αὐτὸν εἰς τοὺς αἰῶνας P
100 αἰῶνας P

ἑαυτοῦ σε ποιούμενος
παραστάτην
καὶ συγκληρονόμον *Rom. 8.17*
εἰς τὴν πατρῴαν δόξαν.

f. 52 θεοτ. Ἡ ῥάβδος ἡ φύσασα *Is. 11.1*
111 Ἰεσσαὶ ἐκ τῆς ῥίζης, Μαριὰμ
ἡ μόνη ἀπόρρητον
ἀποδείξασα ὠδῖνα ἐν θρωτοῖς,
εὐωδίας ἀνέτειλε
115 ζωῆς ἄνθος,
δι' οὗ ὁ δυσώδης
θάνατος ἀπηλάθη.

ᾠδὴ θ'. *Τὴν παρθενίαν σου, θεοτόκε*

f. 111 Ὑπερανέστηκεν
ἐγκωμίων σεμνότητα
120 τοῦ βίου σου, Βάκχε, ὁ ἀγὼν
καὶ τὸ τρόπαιον τοῦ θανάτου σου.

Τὸ πειραζόμενον
τὸ πειράζον ἐπίστασαι,
τῷ ἀδικουμένῳ συμπαθὼν
125 διασκόρπισον τὸ πολέμιον.

f. 111ᵛ θεοτ. Ὃν ἐν ἀγκάλαις σου
βρέφος, μήτηρ, ἐβάστασας,
νῦν ὡς δεσπότην τοῦ παντὸς *Job 5.8*
ὑπὲρ λαοῦ αὐτοῦ καθικέτευε.

---

113 ὑποδείξασα ἀγώνων S
heirm. θ' EE 45, n. 60, Andreae heirm. 4 τὸ πῦρ P
120 σου om. S
126 Ὃν: Ὁ P
127 μῆτερ P

INITIA TROPARIORUM

Ἀθεΐας τὴν κάμινον ὥσπερ ὄμβροις
Ἀθλοφόρε μέγιστε, τῆς ἀληθείας
Βάκχε θεόφρον πανόλβιε
Γέγονας καλὴ προσθήκη
Ἐβαπτίσθης τὸ βάπτισμα, τὸ ποτήριον
Ἔκλινας ἐξ ὕψους δόξης
Ἔλιπες λαμπρὰν εἰκόνα
Ἐξ αἱμάτων ἀχράντων, βασιλεῦ
Ἡ πρὸς αὐγὰς ἐξενέγκασα καὶ ζωῆς
Ἡ ῥάβδος ἡ φύσασα Ἰεσσαὶ ἐκ τῆς ῥίζης
Καρπὸν τῆς ἀσκήσεως τὴν δι' αἵματος
Μάρτυς ἀθλητὰ πανθαύμαστε
Ὁ Βάκχος πρόκειται δαψιλεστάτῃ τρυφῇ
Ὃν ἐν ἀγκάλαις σου βρέφος, μήτηρ
Ὁ ὁρῶν πάντα πέρατα ἐκ τοῦ ὕψους
Ὁ τοῦ Κυρίου τὴν νέκρωσιν
Οὐρανόμηκες ὕψος προκόπτων ἀνέβης
Οὐρανὸν ὁ προστάξει βασιλεὺς τανύσας
Πτερωθεὶς τῇ ἀγάπῃ τοῦ Ἰησοῦ
Σοφίαν καὶ φρόνησιν τοῦ θανάτου
Τῇ ἀσκήσει σταυρούμενος, τῇ ἀθλήσει
Τὴν μόνην φύσεως λαθοῦσαν ἐν γυναιξὶν
Τὴν στενὴν καὶ τραχεῖαν βαδίζων
Τὸ θεόδεκτον σκῆνος, χαῖρε πανάμωμε
Τοῖς κρουνοῖς τῶν αἱμάτων σου, ὁσιομάρτυς
Τὸ πειραζόμενον τὸ πειράζον ἐπίστασαι
Τὸ τῆς φύσεως χρέος ἐξ ἀνάγκης
Τοῦ ἐχθροῦ τὰς παγίδας ἐκφυγὼν
Τῷ σκῆπτρα φέροντι ἐν ἀιδίῳ χειρὶ
Ὑπερανέστηκεν ἐγκωμίων σεμνότητα
Ὑπερήφανον φρύαγμα καὶ ἀλλόφυλον ἔπαρσιν
Ὡς ἐκ νεφέλης ἐπέφανε φαεινῆς

INDEX LOCORUM

Ex. 34.5
Ps. 7.12
37(38).14
102(103).5
124(125).2
Job 5.8
9.8
Sap. 2.4
7.26
Is. 10.12
11.1
Da. LXX. 3.49
Matth. 7.13-14
Rom. 8.17
2. Co. 4.10
Gal. 4.25
6.9
6.17
Eph. 1.8
1 Tim. 1.17
3.7
2 Tim. 4.7

ΣΥΝΤΟΜΟΓΡΑΦΙΕΣ

AASS = Acta Sanctorum
AB = περ. Analecta Bollandiana
Auctarium = Fr. Halkin, Auctarium Bibliothecae Hagiographicae Graecae, Bruxelles 1969.
*BHG*³ = Fr. Halkin, Bibliotheca Hagiographica Graeca, troisième édition, Bruxelles 1957
CPC = W. Christ-M. Paranikas, Anthologia graeca carminum christianorum, Lipsiae 1871.
EE = Σωφρ. Εὐστρατιάδου, Εἱρμολόγιον, Chennevières-sur-Marne 1932
EPh = περ. Ἐκκλησιαστικὸς Φάρος
HC = Ὡρολόγιον... κατὰ τὴν ἔκπαλαι τάξιν οὐ μὴν ἀλλὰ καὶ τυπικὸν τοῦ τῆς Κρυπτοφέρρης μοναστηρίου..., Ἐν Ρώμῃ 1677.
MR = Μηναῖα τοῦ ὅλου ἐνιαυτοῦ. I-VI. Ἐν Ρώμῃ 1888-1901.
PG = J.P. Migne, Patrologiae cursus completus. Series graeca, Paris 1857-1906.
VVr = περ. Vizantijskij Vremennik.

SUMMARY

St. Bacchus the Younger was born in Maiouma, Palestine, ca. A.D. 770. His father, previously a Christian, was converted to Islàm whereas his mother was a *crypto-Christian*. After his father's death, Bacchus was baptized a Christian in the *laura* of St. Saba and received the name of Bacchus. When his faith revealed itself to the Moslems he defended it in front of the Arab ruler of Palestine, and then he was tortured to death by decapitation.

The new documents we examine here are as follows: the *Epitome* of cd. Athen. 2108, the *Memory* of the Saint in the Palestinian-Georgian *Calendar* of Sinait. Georg. 34 and the hymnographical texts (fragments of the *Acolouthia* of St. Bacchus the Younger). Our conclusion is that there was a former historical narration about the Saint, who was decapitated in 787/8 by order of Harthama, the Arab ruler of Palestine at the time. There are also examined a miniature and a wall-painting depicting St. Bacchus.

Finally, a recension of the *Acolouthia* of St. Bacchus is published on the basis of three Mss.